ΔΟ. πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασιν.
ΧΟ. σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν·
λέξον τίς ἔσται τοῦδε σώματος σάγη.
ΔΟ. λύκειον ἀμφὶ νῶτον ἅψομαι δορὰν,
καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ,
βάσιν τε χερσὶ προσθίαν καθαρμόσας
καὶ κῶλα κώλοις τετράπουν μιμήσομαι
λύκου κέλευθον, πολεμίοις δυσεύρετον,
τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
ὅταν δ' ἔρημον χῶρον ἐμβαίνω ποδὶ,
δίβαμος εἶμι· τῇδε σύγκειται δόλος.
ΧΟ. ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.
ἔχεις δὲ τοὔργον, εὐτυχεῖν μόνον σε δεῖ.
ΔΟ. σωθήσομαί τε καὶ κτανὼν Ὀδυσσέως
οἴσω κάρα σοι, σύμβολον δ' ἔχων σαφὲς
φήσεις Δόλωνα ναῦς ἐπ' Ἀργείων μολεῖν,
ἢ παῖδα Τυδέως· οὐδ' ἀναιμάκτῳ χερὶ
ἥξω πρὸς οἴκους, πρὶν φάος μολεῖν χθόνα.
ΧΟ. Θυμβραῖε καὶ Δάλιε καὶ Λυκίας στρ. α'.
ναὸν ἐμβατεύων
Ἄπολλον, ὦ δία κεφαλὰ, μόλε τοξήρης, ἱκοῦ
ἐννύχιος
καὶ γενοῦ σωτήριος ἀνέρι πομπᾶς
ἁγεμὼν καὶ ξύλλαβε Δαρδανίδαις,
ὦ παγκρατὲς, ὦ Τροΐας τείχη παλαιὰ δείμας.
μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς ἀντ. α'.
Ἑλλάδος διόπτας
ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας οἴκων πατρὸς
Ἰλιάδας.
Φθιάδων ἵππων ἐπὶ δ' ἄντυγα βαίη,
δεσπότου πέρσαντος Ἀχαιὸν Ἄρη,
τὰς πόντιος Αἰακίδᾳ Πηλεῖ δίδωσι δαίμων·
ἐπεὶ πρό τ' οἴκων πρό τε γᾶς ἔτλα μόνος στρ. β'.
ναύσταθμα βὰς κατιδεῖν· ἄγαμαι
λήματος· ἦ σπανία